FRANCKESCHE STIFTUNGEN

# Franckesche Stiftungen zu Halle

## Xenophontis Memorabilia Socratis Graece

### Xenophon

### Gothae, MDCCLXXXVIII.

### VD18 12986496

Caput II. Lamproclem filium matri iratum placat.

**Nutzungsbedingungen**

Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.

Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.

Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

**Terms of use**

All digital documents of the Francke-Portal are protected by copyright. They may be downloaded and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.

Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.

For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-193062

Visual Library

ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μα-
34 καριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι. οὕτω πως διώκει Πρόδικος τὴν ὑπ' ἀρετῆς Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέν τοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν, ἢ ἐγὼ νῦν. σοὶ δ' οὖν ἄξιον, ὦ Ἀρίστιππε, τούτων ἐνθυμουμένῳ πειρᾶσθαί τι, καὶ τῶν εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν.

---

## CAPUT II.

*Lamproclem filium matri iratum placat.*

Αἰσθόμενος δέ ποτε Λαμπροκλέα, τὸν πρεσβύτατον υἱὸν ἑαυτοῦ, πρὸς τὴν μητέρα χαλεπαίνοντα, εἰπέ μοι, ἔφη, ὦ παῖ, οἶσθά τινας ἀνθρώπους ἀχαρίστους καλουμένους; καὶ μάλα, ἔφη ὁ νεανίσκος. καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν; ἔγωγ', ἔφη. τοὺς γὰρ εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι, μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν. οὐκοῦν δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις κατα-
2 λογίζεσθαι τοὺς ἀχαρίστους; ἔμοιγ', ἔφη. ἤδη δέ ποτε ἐσκέψω, εἰ ἄρα, ὥσπερ τὸ ἀνδραποδίζεσθαι τοὺς μὲν φίλους, ἄδικον εἶναι δοκεῖ, τοὺς

δὲ

δὲ πολεμίους, δίκαιον εἶναι, οὕτω y) καὶ τὸ ἀχαριστεῖν πρὸς τοὺς μὲν φίλους ἄδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους, δίκαιον; καὶ μάλα, ἔφη· καὶ δοκεῖ μοι, ὑφ' οὗ ἄν τις εὖ παθὼν, εἴ τε φίλου, εἴ τε πολεμίου, μὴ πειρᾶται χάριν ἀποδιδόναι, ἄδικος εἶναι. οὐκοῦν, εἴ γ' οὕτως ἔχει 3
τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία ἡ ἀχαριστία; συνωμολόγει. οὐκοῦν ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν, μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη; συνέφη καὶ τοῦτο. τίνας οὖν, ἔφη, ὑπὸ τίνων εὕροιμεν ἂν μείζονα εὐεργετημένους ἢ παῖδας ὑπὸ z) γονέων; οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι, τοσαῦτα δὲ καλὰ ἰδεῖν καὶ τοσούτων ἀγαθῶν μετασχεῖν, ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις· ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ παντὸς ἄξια εἶναι, ὥστε πάντες τὸ καταλιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν. καὶ αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσοντες a).
καὶ μὴν οὐ τῶν γε ἀφροδισίων ἕνεκα παιδοποι- 4
εῖσθαι τοὺς ἀνθρώπους ὑπολαμβάνοις· ἐπεὶ τούτου γε τῶν ἀπολυσόντων μεσταὶ μὲν αἱ ὁδοὶ, μεστὰ δὲ τὰ οἰκήματα. φανεροὶ δ' ἐσμὲν καὶ σκοπούμενοι ἐξ ὁποίων ἂν γυναικῶν βέλτιστα ἡμῖν τέκνα γένοιτο, αἷς συνελθόντες τεκνοποιούμεθα. καὶ ὁ μὲν ἀνὴρ τήν τε συντεκνοποιήσουσαν 5
ἑαυτῷ τρέφει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει πάντα, ὅσα ἂν οἴηται συν-



y) οὕτω in aliis deest.

z) Al. et ipse Ernesti ἀπό.

a) Pro παύσουσαι, per Synesin. Nam αἱ πόλεις h. l. sunt cives.

οίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα ὡς
ἂν δύνηται πλεῖστα. ἡ δὲ γυνὴ ὑποδεξαμένη
τε φέρει τὸ φορτίον τοῦτο, βαρυνομένη τε καὶ
κινδυνεύουσα περὶ τοῦ βίου, καὶ μεταδιδοῦσα τῆς
τροφῆς, ᾗ καὶ αὐτὴ τρέφεται, καὶ σὺν πολλῷ
πόνῳ διενέγκασα καὶ τεκοῦσα, τρέφει τε καὶ
ἐπιμελεῖται, οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν,
οὔτε γιγνώσκον τὸ βρέφος, ὑφ' ὅτου εὖ πάσχει,
οὔτε σημαίνειν δυνάμενον, ὅτου δεῖται· ἀλλ' αὐ-
τὴ στοχαζομένη τά τε συμφέροντα καὶ κεχα-
ρισμένα πειρᾶται ἐκπληροῦν, καὶ τρέφει, πολὺν
χρόνον, καὶ ἡμέρας καὶ νύκτας ὑπομένουσα πο-
νεῖν, οὐκ εἰδυῖα, τίνα τούτων χάριν ἀπολήψε-
6 ται· καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ καὶ
ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι οἱ παῖδες μανθά-
νειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγα-
θὰ πρὸς τὸν βίον, διδάσκουσιν, ἃ δ' ἂν οἴων-
ται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι
πρὸς τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται,
πάντα ποιοῦντες, ὅπως οἱ παῖδες αὐτοῖς γέ-
7 νωνται, ὡς δυνατὸν, βέλτιστοι. πρὸς ταῦτα
ὁ νεανίσκος ἔφη, ἀλλά τοι, εἰ καὶ b) ταῦτα
πάντα πεποίηκε, καὶ ἄλλα τούτων πολλαπλά-
σια, οὐδεὶς ἂν δύναιτο αὐτῆς ἀνασχέσθαι τὴν
χαλεπότητα. καὶ ὁ Σωκράτης, πότερα δὲ
οἴει, ἔφη, θηρίου ἀγριότητα δυσφορωτέραν εἶναι
ἢ μητρός; ἐγὼ μὲν οἶμαι, ἔφη, τῆς μητρὸς
τῆς γε τοιαύτης. ἤδη πώποτε οὖν ἢ δακοῦσα
κακόν τί σοι ἔδωκεν, ἢ λακτίσασα, οἷα ὑπὸ
8 θηρίων ἤδη πολλοὶ ἔπαθον. ἀλλὰ νὴ Δία, ἔφη,
λέγει,

b) Vulg. καὶ non exstat.

λέγει, ἃ οὐκ ἄν τις ἐπὶ τῷ βίῳ c) παντὶ βού-
λοιτο ἀκοῦσαι. σὺ δὲ πόσα, ἔφη ὁ Σωκράτης,
οἴει ταύτην δυσάνεκτα καὶ τῇ φωνῇ καὶ τοῖς
ἔργοις ἐκ παιδίου δυσκολαίνων καὶ ἡμέρας καὶ
νυκτὸς πράγματα παρασχεῖν, πόσα δὲ λυπῆ-
σαι κάμνων; ἀλλ' οὐδὲ πώποτε αὐτήν, ἔφη,
οὔτ' εἶπα, οὔτ' ἐποίησα οὐδέν, ἐφ' ᾧ ᾐσχύνθη.
τί δ' οἴει, ἔφη, χαλεπώτερον εἶναί σοι ἀκού- 9
ειν, ὧν αὐτὴ λέγει, ἢ τοῖς ὑποκριταῖς, ὅταν
ἐν ταῖς τραγῳδίαις ἀλλήλους τὰ ἔσχατα λέ-
γωσιν; ἀλλ' οἶμαι, ἐπειδὴ οὐκ οἴονται τῶν
λεγόντων οὔτε τὸν ἐλέγχοντα ἐλέγχειν, ἵνα
ζημιώσῃ, οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν, ἵνα
κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι· σὺ δ' εὖ
εἰδώς, ὅτι, ἃ λέγει σοι ἡ μήτηρ, οὐ μόνον
οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ καὶ βουλομένη
σοι ἀγαθὰ εἶναι, ὅσα οὐδενὶ ἄλλῳ, χαλεπαί-
νεις. ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶ-
ναι; οὐ δῆτα, ἔφη, τοῦτό γε οὐκ οἴομαι. καὶ 10
ὁ Σωκράτης, οὐκοῦν, ἔφη, ταύτην, εὔνουν τέ
σοι οὖσαν, καὶ ἐπιμελομένην, ὡς μάλιστα δύ-
ναται, κάμνοντος, ὅπως ὑγιαίνῃς τε καὶ
ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς ἔσῃ, καὶ
πρὸς τούτοις, πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγα-
θὰ ὑπὲρ σοῦ, καὶ εὐχὰς ἀποδιδοῦσαν, χα-
λεπὴν εἶναι φής; ἐγὼ μὲν οἶμαι, εἰ τοιαύτην
μὴ δύνασαι φέρειν μητέρα, τἀγαθά σε οὐ δύ-
νασθαι φέρειν. εἰπὲ δέ μοι, ἔφη, πότερον ἄλ- 11
λον τινὰ οἴει δεῖν θεραπεύειν; ἢ παρεσκεύασαι
μηδενὶ

c) i. e. quae nemo, si vel omnes quae ad vitam pertinent facultates ipsi concederentur, audire cuperet.

Franckesche Stiftungen zu Halle

μηδενὶ ἀνθρώπων πειρᾶσθαι ἀρέσκειν, μηδ' ἕπεσθαι, μήτε*) πείθεσθαι, μήτε στρατηγῷ, μήτε ἄλλῳ ἄρχοντι; καὶ μὰ Δία ἔγωγε, ἔφη.
12 οὐκοῦν, ἔφη ὁ Σωκράτης, καὶ τῷ γείτονι βούλει σὺ ἀρέσκειν, ἵνα σοι καὶ πῦρ ἐναύῃ, ὅταν τούτου δέῃ, καὶ ἀγαθοῦ τέ σοι γίγνηται συλλήπτωρ, καί, ἄν τι σφαλλόμενος τύχῃς, εὐνοϊκῶς ἐγγύθεν βοηθῇ σοι; ἔγωγ' ἔφη. τί δέ; συνοδοιπόρον ἢ σύμπλουν, ἢ εἴ τῳ ἄλλῳ d) ἐντυγχάνοις, οὐδὲν ἄν σοι διαφέροι φίλον ἢ ἐχθρὸν γενέσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας
13 οἴει δεῖν ἐπιμελεῖσθαι; ἔγωγ' ἔφη. εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρεσκεύασαι, τὴν δὲ μητέρα τὴν πάντων μάλιστά σε φιλοῦσαν οὐκ οἴει δεῖν θεραπεύειν; οὐκ οἶσθα, ὅτι καὶ ἡ πόλις ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται, οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδιδόντας· ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε ἐπιτίθησι, καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον, ὡς οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς πόλεως, τούτου θύοντος, οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν τούτου πράξαντος; καὶ νὴ Δία ἐάν τις τῶν γονέων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ, καὶ τοῦτο ἐξετάζει ἡ πόλις ἐν ταῖς τῶν ἀρχόντων δοκιμασίαις.
14 σὺ οὖν, ὦ παῖ, ἂν σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσῃ συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέληκας τῆς μητρός, μή σε καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι, οὐκ ἐθέλωσιν εὖ ποιεῖν· τοὺς δὲ ἀνθρώπους φυλάξῃ, μή σε αἰσθό-

μενοι

*) Recte Hindenb. μηδὲ. d) Al. male: τῷ.

Franckesche Stiftungen zu Halle